Permalink: http://gams.uni-graz.at/o:ethnos.258

# Isoc. 12,42-44

| | |
|---|---|
| Title | Panathenaicus |
| Author | Isocrates |
| Date | 4th Cen.B.C. |
| Original text | Οἱ μὲν τοίνυν ἡμέτεροι πρόγονοι φανήσονται τήν τε πρὸς τοὺς Ἕλληνας ὁμόνοιαν καὶ τὴν πρὸς τοὺς βαρβάρους ἔχθραν, ἣν παρέλαβον ἐκ τῶν Τρωικῶν, διαφυλάττοντες καὶ μένοντες ἐν τοῖς αὐτοῖς. Καὶ πρῶτον μὲν τὰς Κυκλάδας νήσους, περὶ ἃς ἐγένοντο πολλαὶ πραγματεῖαι κατὰ τὴν Μίνω τοῦ Κρητὸς δυναστείαν, ταύτας τὸ τελευταῖον ὑπὸ Καρῶν κατεχομένας, ἐκβαλόντες ἐκείνους οὐκ ἐξιδιώσασθαι τὰς χώρας ἐτόλμησαν, ἀλλὰ τοὺς μάλιστα βίου τῶν Ἑλλήνων δεομένους κατῴκισαν εἰς αὐτάς · καὶ μετὰ ταῦτα πολλὰς πόλεις ἐφ’ ἑκατέρας τῆς ἠπείρου καὶ μεγάλας ἔκτισαν, καὶ τοὺς μὲν βαρβάρους ἀνέστειλαν ἀπὸ τῆς θαλάττης, τοὺς δ’ Ἕλληνας ἐδίδαξαν ὃν τρόπον διοικοῦντες τὰς αὑτῶν πατρίδας καὶ πρὸς οὓς πολεμοῦντες μεγάλην ἂν τὴν Ἑλλάδα ποιήσειαν. |
| Source | É. Brémond, G. Mathieu, Isocrate: Discours, Bd. 4. |
| Source of translation | C. Ley-Hutton, Isokrates: Sämtliche Werke, Bd. 2. |
| Descriptor | settlement history |
| Coverage | Athens |
| Editor | Anna Trattner-Handy |
| Publisher | Klaus Tausend, Institut für Alte Geschichte und Altertumskunde, Universität Graz |